χρημάτων κρείσσων.᾿ οὐ γὰρ μόνον ἀλαζονείαν καὶ κενότητα καὶ φιλοτιμίαν ἐκπέφευγε τὸ λέγειν τι τηνικαῦτα περὶ αὑτοῦ σεμνόν, ἀλλὰ καὶ φρόνημα καὶ μέγεθος ἀρετῆς διαδείκνυσι τῷ μὴ ταπεινοῦσθαι ταπεινούσης καὶ χειρουμένης τὸν φθόνον. οὐδὲ γὰρ κρίνειν ἔτι D τοὺς τοιούτους ἀξιοῦσιν, ἀλλ᾿ ἐπαίρονται καὶ γάννυνται καὶ συνενθουσιῶσι ταῖς μεγαλαυχίαις, ἄνπερ ὦσι βέβαιοι καὶ ἀληθεῖς· ὡς ἐπιμαρτυρεῖ τὰ γινόμενα. Θηβαῖοι γοῦν, ἐγκαλουμένων τῶν στρατηγῶν ὅτι τοῦ χρόνου τῆς βοιωταρχίας ἐξήκοντος αὐτοῖς οὐκ εὐθὺς ἐπανῆλθον ἀλλ᾿ εἰς τὴν Λακωνικὴν ἐνέβαλον καὶ τὰ περὶ Μεσσήνην διῴκησαν, Πελοπίδαν μὲν ὑποπίπτοντα καὶ δεόμενον μόλις ἀπέλυσαν, Ἐπαμεινώνδου δὲ πολλὰ περὶ τῶν πεπραγμένων μεγαληγορήσαντος, τέλος δὲ φήσαντος ὡς ἕτοιμός ἐστιν ἀποθνήσκειν, ἂν ὁμολογήσωσιν, ὅτι τὴν Λακωνικὴν διεπόρθησε E καὶ Μεσσήνην ᾤκισε καὶ συνέστησεν Ἀρκαδίαν ἀκόντων ἐκείνων, οὐδὲ τὰς ψήφους ἀναλαβεῖν ἐπ᾿ αὐτὸν ὑπέμειναν, ἀλλὰ θαυμάζοντες τὸν ἄνδρα καὶ χαίροντες ἅμα καὶ γελῶντες ἀπηλλάγησαν. ὅθεν οὐδὲ τοῦ Ὁμηρικοῦ Σθενέλου παντάπασιν αἰτιατέον τὸ (Δ 405)

῾ἡμεῖς τοι πατέρων μέγ᾿ ἀμείνονες εὐχόμεθ᾿ εἶναι᾿

μεμνημένους τοῦ (Δ 370)